# Acta Apostol. 19,23 : Paolo ed il tempio di Artemide ad Efeso

Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ
ὀλίγος περὶ τῆς ὁδοῦ.
Δημήτριος γάρ τις ὀνόματι,
ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος παρείχετο
τοῖς τεχνίταις οὐκ ὀλίγην ἐργασίαν,
οὓς συναθροίσας
καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας εἶπεν, Ἄνδρες, ἐπί-
στασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῖν
ἐστιν,
καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου
ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας
μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶν θεοὶ οἱ
διὰ χειρῶν γινόμενοι.
οὐ μόνον δὲ τοῦτο κινδυνεύει
ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς
μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐθὲν λογισθῆναι,
μέλλειν τε καὶ καθαιρεῖσθαι τῆς μεγαλειότητος αὐτῆς,
ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.
Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκρα-
ζον λέγοντες, Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.
καὶ
ἐπλήσθη ἡ πόλις τῆς συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν
εἰς τὸ θέατρον συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον
Μακεδόνας, συνεκδήμους Παύλου.
Παύλου δὲ βουλο-
μένου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ εἴων αὐτὸν οἱ μαθηταί·
τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι,
πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν
εἰς τὸ θέατρον.